Au f. 2 r° se trouve l'approbation des Théologiens de la Faculté de Paris, en date du 7 avril 1626.

Au même f. v° commence l'épître dédicatoire suivante, avec sa traduction latine en regard :

ΤΩ ΜΑΚΑΡΙΩΤΑΤΩ ΠΑΤΡΙ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΩ
ΑΡΧΙΠΟΙΜΕΝΙ ΟΥΡΒΑΝΩ ΤΩ ΟΓΔΟΩ

Τῆς ἀποστολικῆς ἀκροπόλεως τὸ ἄμαχον κράτος, πάτερ μακαριώτατε, τρισὶ μάλιστα προσβολαῖς ὥρμησε διακλονεῖν ἡ πολύτροπος φιλαρχία. Πρῶτα μὲν γὰρ ἔδοξε τιμᾶν πόλει πόλιν ἁμιλλωμένην, παλαιᾷ νέαν· καὶ ἡ τῆς μιᾶς τιμὴ ταῖς πολλαῖς περιγέγονεν εἰς ἀτιμίαν, καὶ ἡ πρόσφατος τάξις τὴν ἀρχαίαν διέλυσε, Δαμάσου τοῦ πάνυ κοσμοῦντος τὸν Πέτρου θρόνον, τῇ τε ἱεροπρεπεστάτῃ τοῦ βίου σεμνότητι καὶ τῇ πανευσεβεῖ φιλομουσίᾳ. Εἶτα, ἐπαρθείσης τῆς νεωτέρας, κατὰ τὸν ἀμφικέφαλον τῆς βασιλείας ἀετὸν, δύο σκηπτούχους ἀνηγόρευσαν πόλεις, ἰσοτίμους τε καὶ ἰσοδυνάμους τὰ θεῖα, Λέοντος τοῦ γενναιοτάτου ἱεραρχοῦντος, δι' ὃν ἡ πρεσβῦτις Ῥώμη καὶ πολέμους ἔθραυσε ψυχῶν καὶ πολέμους τῶν βαρβάρων· τέλος κορυφωθεῖσα ἡ τόλμα τὴν διχόνοιαν ἤνεγκε, πολλὰ κατὰ τῆς ἀποστολικῆς ἀκρότητος ῥαψῳδήσασα, Νικολάου πηδαλιουχοῦντος τὴν Πέτρου ὁλκάδα καὶ πολλοὺς καταβαλλομένου ἀγῶνας, ἐφ' ᾧ κατασταλῆναι τὸ τοῦ τολμήματος. Τίς νοῦν ἔχων οὐκ ἂν εἴποι τοὺς ὑπὲρ τοῦ Πέτρου καὶ τῆς ἀρχεγόνου Ῥώμης ἱδρῶτας ὀφείλεσθαι τῷ φιλομουσοτάτῳ ἀρχιερεῖ, τῷ κατευναστῇ τῶν πολέμων, τῷ φυγαδευτῇ τοῦ σχίσματος, Οὐρβανῷ τῷ ὀγδόῳ; Δέχου, πάτερ μακαριώτατε, τά σοι κομιζόμενα καὶ νομιζόμενα δῶρα, Νεῖλον τόνδε θριαμβευόμενον καὶ ὑπὲρ ἀναιδῶς καὶ αὐτῷ κατὰ σοῦ συμπλασθέντων ἐκκηρυττόμενον· καὶ γένοιο τοῖς ἐν Θρᾴκῃ βαρβάροις δαμάζων Δάμασος· τοῖς φιλοπολέμοις Λέων λεοντείῳ ἐκπλήττων βρυχήματι· τοῖς ἀποσχιζομένοις Νικόλαος, νικητὴς ἄκρος καὶ τῷ φιλανθρώπῳ τῆς ψυχῆς καὶ τῷ μεγαλοψύχῳ τῶν πράξεων.

Τῆς ὑμετέρας μακαριότητος δοῦλος
ὁ ταπεινὸς Ἰκονίου ἀρχιεπίσκοπος.

*
* *

Εἷς πέλεν Αἰγύπτῳ Νεῖλος· δύο πάρθετο Νείλους
σοῖς, Οὐρβανὲ, ποσὶν γραικογενὴς σοφίη,